RVDOLPHVS

II·ROM·IMP·

AVGVST·



1 5 7 6

Ρωμαῖοι αὐτοκράτορες, Ελληνιστὶ καὶ Ρωμαϊστὶ τῷ πεζῷ καὶ ἐμμέτρῳ λόγῳ ἐκφρασθέντες ἀπὸ Ζαχαρίου τοῦ Ορθοῦ, ποιητοῦ δαφνηφόρου.

ROMANORVM IMPERATORES, GRÆCE ATQVE LATINE, SOLVTA ET LIGATA ORATIONE DESCRIPTI

à

M. ZACHARIA ORTHO
Poëta lauro bis coronato.


Μειρακιέυμα ἰδὼν φθονερὸς μικρὸν τόδε Μῶμος,
Αχνύμενος στόμασιν γγοχόροισιν ἔφη,
Μὴ θρέψει λαγὼς ἁπαλὸς λῖν οὐρεσίφοιτον,
Οὐ βιβλίον κορέσει τοῦτο λάρυγγα ἐμόν.



Anno
M. D. LXXVI.


78

INVICTISSIMO MAXIMILIANO II. ROMANORVM IMPERAtori Augusto, Germaniæ, Vngariæ & Bohemiæ Regi, Archiduci Austriæ, Duci Burgundiæ &c. Domino suo clementiss.



Vm historia sit testis temporum, lux veritatis, magistra vitæ, nuncia vetustatis, sicut eam M. Cicero de Oratore II. describit, omnibus temporibus docti, sapientes, atq; potentes viri eam amauerunt atq; legerũt, ex qua tanquam de thesauro & promptuario consiliorum & actionum suarum cum in priuata vita, tum in ecclesiæ & reipub. administratione exempla & præcepta peterent. Ideo Polyb: lib: I. inquit, Historiæ cognitionem esse verissimam institutionem ac exercitationem ad politicas actiones. Nullius autem populi illustriora virtutum & vitiorum exempla, quam Romani, cuius potentia in genere humano maxima fuit, & longissimè durauit, historia continet. Huius igitur ferè totius cogniti atq; habitabilis mundi, quem οἰκουμένην Græci nominant, victoris, vsq; ad mutationem formæ gubernationis in repub. hoc est, vsq; ad Cæsarum dominationem, historiam, alij multi Latini & Græci eloquentiss. copiosiss. atq; ornatiss. genere dicendi posteritati commendauerunt, ego illorum vestigijs, qualicunq; conatu, & studio insistens,

Cæsarum



Cæsarum monarchiam, à C. Iulio Cæsare vsq; ad clarißima primordia gubernationis vestræ, inuictiß. D. Imp. D. omnium clementiß. pertexere & continuare Græco & Latino stylo, tam soluta quam ligata oratione absoluere aggressus sum. Non ea facundia, nec illa dicendi copia, neq; scribendi facultate, atq; illustrandi adeo excellentia facta, ornatu, qualem cum dignitas imperij, tum talium heroum immortalis virtus requirebat: sed ea quam & ingenioli mei vires, & horum temporum mores suppeditant, facultate. Græca etenim lingua prorsus ab omnibus aulis & à toto foro exulat, atq; intra philosophicarum scholarum parietes delitescit, atq; eos admodum paucos. Nam neq; Italicæ Academiæ admodum huius linguæ cultura celebres sunt, verum maxima ex parte negligunt. Si igitur lector elegantiam atq; Græcam facundiam in hac mea historia desiderabit, partim nostro seculo ignoscet, partim etiam ipsis rebus imputabit, quod eas nullus quod sciam Græcè mediocriter scripserit. Ipsi nati Græci, qui Cæsarum temporibus floruerunt, multum plerumq; à vernaculæ suæ eloquentia desciuerunt, atq; à germanæ Græciæ ornatu, à dictionis mundicie, & phrasium elegantia multùm degenerauerunt. Sicut Dion Caßius, & longo post eum interuallo Zonaras, alijq;. Quid dicam de Latinis historiographis, qui singuli singulorũ imperia, nonnulli plurium vitam ineptißimè & indoctißimè scripserunt? vt, Spartianus, Capitolinus, & Vopiscus. Quorum tamen historias, propter seriem rerum gestarum, & quod idonei scriptores non extant, quotidie in manibus habemus. Si hos natos Romanos legimus propter res tantum, & illorum barbariei propter ipsa tempora indocta ignoscimus? quis adeò iniquus criticus & censor erit huius historiæ? qui non mihi veniam dandam censebit, qui in longè infeliciore seculo, ver-

 sor?

ſor? Et quiſnam mediocriter Græcè doctus, iudicabit hæc ipſis quos nominaui (vt hoc glorioſius dicam) etiam ſtylo & cōpoſitione anteferenda eſſe? niſi faſcinatus extraneis lauticijs, Germanis ingenij dexteritatem prorſus adimire, & ſolis Gallis atq; Italis muſas fauere dicere voluerit. Has autem operis mei quaſi primitias inuictiſſ. domine Imp: ſacræ Cæsareæ maieſtati veſtræ nuncupare volui, vt quorum ſucceßione legitima imperium gubernas, illorum quoq; res geſtas in tabula poëtico penicillo ductas perluſtres, atq; vt hoc muſarum munuſculum hæreditario iure in Auguſta familia V. tanquam hæreditatem tuam adeas. Diuo enim Ferdinando Germanicorum Impp. hiſtoriam ſola Græca elegia dedicaui, quam ille ſummis honoribus proſecutus, Auguſta liberalitate remuneratus eſt. Additurus fueram reliquos Cæſares, verum typographus nimis auarum precium ſtatuit arti ſuæ, vt mille Vngarici ſoli æditioni non ſuffeciſſent. Verum mihi curta ſupellex eſt. Quare hunc libellum Auguſto auſpicio V. deſtinatū, & imperiali ſplēdori inſcriptum, Cæſareo fauore & clementia (. Iulij Cæſaris puta, qui Poëtas magni faciebat, & muneribus atq; præmijs afficiebat.) proſequere, ἵνα τὶς καὶ ὀψιγόνων σε εὖ εἴπῃ: *Vt Poſteri etiam laudes ſacræ Cæſareæ maieſtatis V. celebrent. Nam teſte Theocrito:*

Τί κάλλιον ἀνδρίκεν εἴη
ὀλβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;

Quid pulchrius homini
Diuiti, quam bonam laudem inter homines nanciſcis?

DEVS Opt. Max. qui dat ſalutem Regibus ſacram Cæſaream M. V. ſub vmbra alarum ſuarum contra omnes hoſtes ſuos protegat.

S. C. M. V.
ſeruus
Zacharias Orthus.

ΠΕΡΙ ΡΩΜΗΣ.



ΠΕΙΔΗΠΕΡ ΤΩΝ ΡΩΜΑΙΩΝ ΑΥΤΟΚΡΑΤΟΡΩΝ, οἱ ἀπὸ πρώτου Δικτάτωρος τῆς πόλεως Καΐου ἰουλίου τοῦ Καίσαρος, Καίσαρες ὠνομάσθησαν, βίον καὶ διαδοχὴν συντάξασθαι ἐπεχειρησάμην, σπουδῆς ἄξιον εἶναι ἡγοῦμαι, περὶ τῆς ἀρχῆς καὶ κτίσεως τοῦ ἄστεος, καὶ περὶ τῶν βασιλέων αὐτῆς τε καὶ τῶν ἄλλων δυναστῶν, οἳ πρὸ μοναρχίας τοῦ κοινοῦ προέστησαν, ὀλίγα ἄττα συλλήβδην λόγῳ δοῦναι. Ἵνα μὴ τοῖς ἐφεξῆς τὰ πολλὰ συμβεβηκόσιν ἐντυγχάνοντες, τῆς ἀληθείας ὡς ἐν τῷ ἀνεξερευνήτῳ σκότει ἀφαμαρτάνωσι, καὶ ὥσπερ ξένοι ἤτοι ὀθνεῖοι ἐν ἀλλοδαπῷ καὶ τινὶ ἀγνώστῳ χώρᾳ πλανῶσι.

Τὴν πόλιν Ῥώμην συνεστήκασιν ἀδελφοὶ ὁμογάστριοι Ῥωμύλος καὶ Ῥέμος, δίδυμοι Ῥέας Συλβίας (θυγατέρος τοῦ Νομίτορος Ἄλβης μακρᾶς βασιλέως) καὶ τοῦ Ἄρεος, ἐκ πορνείας, ὡς λόγος, μετὰ τὴν ἅλωσιν Τροίης, τῆς Φρυγίας μητροπόλεως, καὶ μεγίστης κατ' ἐκεῖνον χρόνον καὶ δυνατωτάτης ἐν Ἀσίᾳ, ἔτει τετρακοσιοστῷ, τριακοστῷ, τοῦ μὲν κόσμου τρισχιλιοστῷ, διακοσιοστῷ, τρισκαιδεκάτῳ, πρὸ τῆς ἐνσαρκώσεως τοῦ Σωτῆρος ἡμῶν, ἀθανάτου θεοῦ Ἰησοῦ χριστοῦ, ἑπτακοσιοστῷ, πεντηκοστῷ, ἡμέρᾳ δὲ τοῦ θαργηλιῶνος πρώτῃ ἐπ' εἰκάδι φθίνοντος, ἐν ᾗ ἑορτή ἐστι τῶν παληλίων παρὰ τοῖς Ῥωμαίοις: καὶ ὕστατα δεκάτῳ ἔτει Ἄχα τῶν Ἰουδαίων βασιλέως.

Ἐξ ἀρχῆς μὲν βασιλεῦσιν αἰνεῖτο ἡ Ῥωμαίων ἀρχή, μέχρι τῆς τῶν ταρκυνίων τυραννίδος καταλύσεως. βασιλεῖς δὲ ἐβασίλευσαν τῆς πόλεως ἔτη, ὡς ἱστορεῖ ὁ Λίβιος, διακόσια, τεσσαράκοντα τρία. πρῶτος βασιλεὺς ὁ Ῥωμύλος τὸν ἑαυτοῦ ἀδελφὸν Ῥέμον τῷ ἀρότρῳ ἦν ἀποκτείνων, ὅτι οὐκ ἐνετρέπετο ὑπερπηδᾶν τὸν χάρακα τῆς νέας πόλεως. Ὁ δὲ Ῥωμύλος τὴν τοῦ γένους διαδοχήν, ἐπὶ τοὺς Ἀλβάνων βασιλέας ἤνεγκε, οἷς προ-

πάτωρ ἦν ὁ Αἰνείας, τῶν τρώων στρατηγὸς, ὃς μετὰ τῆς Τροίης κατάσκαψιν, φυγάδας παραλαβόμενος, ἐκ Φρυγίας εἰς Ἰταλίαν ἀνήγαγεν, ὅπου τῷ τρίτῳ ἔτει τῆς βασιλείας τῶν Λατίνων, ὡς μέμνηται Μεσσάλας ὁ Κορβῖνος, ἐν ὄχθῃ ποταμοῦ Νουμίκου θάπτεται (φασὶ δὲ τινες αὐτὸν ἐν ποταμῷ τούτῳ κατακλυσθῆναι) καὶ σέβεται ὑπὸ ἀρχομένων καὶ τῶν Ἰταλῶν ζεὺς ἐντόπιος. οὗτος ὁ Αἰνείας τοῦ Ἀγχίσου καὶ τῆς Ἀφροδίτης, ἐγεννήθη ἐκ βασιλέων τῆς Τροίης, καὶ αὐτὸς ἐκ Κρεούσας τῆς Πριάμου, Τροίης ἔτι ἱσταμένης ἐγέννησε τὸν Ἀσκάνιον, συνονομασθέντα Ἴουλον: ἐν Ἰταλίᾳ δὲ ἐκ Λαβινίας τῆς Λατίνου, τοῦ Φαύνου, τῶν Λατίνων βασιλέως, Σύλβιον Αἰνείαν Πόσθυμον. ὃν ἡ μήτηρ ὑπὸ δέους τοῦ ἀμφιγόνου υἱοῦ Ἀσκανίου Ἰούλου ἔτεκεν ἐν ὕλῃ παρὰ ποιμένι τῷ Τιτύρῳ, μετὰ θάνατον τοῦ ἀνδρὸς αὐτῆς Αἰνείου. Ἀφ' οὗ Συλβίου πάντες οἱ βασιλεῖς τῶν Ἀλβανῶν Σύλβιοι, ὅ ἐστιν ἐν ὕλῃ γεννηθέντες, ἅτε ὑλαῖοι, κατονομαζόμενοι κεκλήσκονται: ὥσπερ Πάρθων βασιλέες ἀπὸ πρώτου σφῶν καὶ ἐνδόξου βασιλέως Ἀρσάκου Ἀρσακίδαι, τῶν Αἰγυπτίων ἀπὸ τοῦ Πτολεμαίου Πτολεμαῖοι, ὅ ἐστι μάχιμοι ἢ ἄρειοι, οἱ δὲ πρότερον Φαραῶνες, ὃ δύναται ἐλεύθεροι ἢ γνήσιοι, καὶ τῶν Ἀργείων ἀπ' Ἀτρέως Ἀτρεῖδαι, καὶ ὕστατα τῶν Λακεδαιμονίων βασιλεῖς ἀπὸ τοῦ μεγάλου Ἡρακλέους Ἡρακλεῖδαι ὠνομάσθησαν. οὗτος οὖν ὁ Αἰνείας δύο τελευτήσας παρέλιπεν παῖδας, Ἀσκάνιον Ἴουλον, καὶ ἐν γαστρὶ γυναικὸς Σύλβιον. ὁ μὲν Ἀσκάνιος τὴν βασιλείαν διεδέξατο, καὶ τριακοστῷ ἔτει μετὰ κτίσιν τοῦ Λαβινίου, ὃ πατὴρ ἑὸς ἔκτισε τὴν Ἄλβαν, μακρὰν παρωνομασμένην συνέσταται ἐν λόφῳ Ἀλβανῷ καὶ μητρυιᾷ τῇ Λαβινίᾳ καὶ αὐτῆς παιδὶ Συλβίῳ τῷ Ποσθύμῳ τὸ Λαβίνιον ἀπέδωκεν. Αὐτὸς δὲ Ἀσκάνιος τῶν Ἰταλῶν ἐβασίλευσε δι' ὅλως ἔτη λη. τούτου υἱὸς Ἴουλος Σύλβιος μὴ διεδέξατο τὴν ἀρχὴν, ὅτι νωθρὸς, βλήχιμος καὶ ἀνόητος ἦν, ἀλλὰ Σύλβιος ὁ Πόσθυμος, τῆς Λαβινίας τέκνον, κληρονόμος καὶ διάδοχος ἐγράφθη πρὸς συναίμου ἀδελφοῦ Ἀσκανίου, σοφίᾳ, δικαιοσύνῃ τε καὶ εὐσεβείᾳ προὔχων. Ἐβασίλευσε δὲ τῆς Ἄλβης ἔτη κθ. πατρὶ παρηκολούθει Σύλβιος Αἰνείας ἐπι-

Albanorũ reges Syluij cognominati.

Alba Longa condita.

Albani reges.

λα

λα. τοῦτον διεδέξατο Λατῖνος Σύλβιος ἔτη ν. μετὰ τοῦτον δε-
σπόζει ὁ Ἄλβας ἔτη λθ. Ἐγίστες ἦν ὁ Κάπυς, ἄλλως Κάπετος
Σύλβιος, ὃν Εὐσέβιος καὶ Λίβιος Ἄτυν καλοῦσι, Κασσιόδωρος
δὲ Αἴγυπτον, Ὀβίδιος ποιητὴς καὶ Εὐτρόπιος Ἔπιτον ὀνομάζε-
σιν. Ἀνάσσει δὲ κη. καὶ ἐκτίσατο πόλιν Καπύαν ἐν Καμπανίᾳ. Capus in
Εἵπετο τούτῳ Κάπετος κυριεύων ἐννέα. καὶ τούτῳ Τυβερῖνος, Campania
ὃς κατακλυσθεὶς ἐν Ἀλβύλᾳ ποταμῷ, καὶ τὸν ὄνομα αὐτοῦ τοῦ conditur.
Τύβερος δέδωκε. βασιλεύει δὲ ὀκτώ. διάδοχος αὐτοῦ Ἀγρίππας
δεσπόζει τῆς Ἄλβης ἔτη μ, μετὰ τουτονὶ ἀνάσσει Ῥωμύλος Σύλ-
βιος ιθ. Ἄλλοι δὲ τὸν Ἀλλάδιον Σύλβιον, Εὐτρόπιος δὲ Ῥέμον Σύλ-
βιον καλεῖ, καὶ φησὶ διὰ ἀσέβειαν κεραυνῷ βάλλεσθαι. οὗτος υἱὸν
οὐκ ἔχων, ἐξ ἀνδρῶν τὸν ἐγγυτάτω γένει ὄντα ἔλιπεν Ἀυεντῖνον,
βασιλεύοντα ἔτη λζ. Πρόκας δὲ πατρὸς ἀρχὴν δεξάμενος
ἀνάσσει κγ. οὗτος δὲ μεταλλάττων τὸν βίον δύο υἱὼ ἔλιπε Νομίτω-
ρα καὶ Ἀμύλιον, Ἀμύλιος ἐκκρούων τὸν ἀδελφὸν, καὶ υἱὸν αὐτοῦ Λαῦ-
σον ἀνελὼν βασιλεύει μόνος μδ. καὶ τὴν θυγατέρα Νομίτω-
ρος Ῥέαν Συλβίαν, ἄλλως Ἰλίαν ὀνομασθεῖσαν, ἱέρειαν τῆς Ἑσ-
τίας χειροτονεῖ, ἵνα μήπως κύουσα, ἐκδικητὰς φέρῃ τῆς ἀδικίας καὶ
παρανομίας κατὰ τοῦ Νομίτορος. Ἀλλ' αὕτη εἰκοστῷ ἑβδόμῳ
ἔτει βασιλείας τοῦ Ἀμυλίου ἐν γαστρὶ ἔχουσα ἔτικε διδύμους Ῥω-
μύλον καὶ Ῥέμον. Συνεὶς δὲ Ἀμύλιος δεινῶς ἤχθετο, καὶ κακῶς
ἐποίησε τηλικοῦτον πρᾶγμα, καὶ κατὰ τοὺς παλαιοὺς νόμους τὴν
ἔγγονον Ἰλίαν ἢ Ῥέαν, ὡς πορνεύουσαν ζωὴν ὑπὸ τῆς γῆς κατορύ-
ττει, τάδε βρέφη ὑπερφυῆ μεγέθει καὶ κάλλει, διὸ καὶ αὐτὶς μᾶλλον
φοβηθεὶς, ἐκέλευσεν ὑπηρέτην λαβόντα ἀπορρίψαι καὶ ἐκτιθέ-
ναι, ἵνα ἢ λιμῷ ὀλλύῃ, ἢ ἀπὸ θηρίων λυμαίνηται. Φαυστύλος δὲ
φυλάττων καὶ ποιμαίνων τὰ βασιλικὰ θρέμματα, τὰ νεογνῆ βρέ-
φη ἐκτιθέμενα παρὰ τῇ ὄχθῃ τοῦ Τίβριδος εὑρίσκων, τῇ ἑαυτοῦ γυ-
ναικὶ τῇ Ἄκκα Λαρεντίᾳ οἴκονδε φέρων τοὺς διδύμους, καλοὺς κο-
μιδῇ καὶ μεγάλους ὄντας, ἔδωκε θηλάζειν. ἡ δὲ γυνὴ θηλάζουσα τὰ
βρέφη ἡ Ἄκκα Λαρεντία τὸ ὄνομα ὠνομάσθη Λοῦπα, τὸ λύκαι-
να: οὕτω γὰρ Λατῖνοι λέγουσι τὰς πόρνας, μοιχαλίδας, ἢ τὰς

τῶν γυναικῶν ἑταιρούσας, καὶ πορνεῖα λουπανάρια καλοῦσι. αὕτη οὖν Λαρεντία ὑπὸ ποιμένων καὶ ἀγροίκων ἐπορνεύθη, καὶ διὰ μισθολογίαν, καὶ τὸ κέρδους μέγεθος ἐξ ἑταιρείας λύκαινα, ἡ Ρωμαϊστὶ λοῦπα ὠνομάσθη. ἔνθεν πρόφασις τοῦ μύθου, ὅτι ἀπὸ λυκαίνης οἱ δίδυμοι τεθραμμένοι εἰσίν· ἵνα καλύπτεται τὸ αἶσχος καὶ ὄνειδος τοῦ γένους τῶν Ρωμαίων κτιστόρων, οἷον ἀπὸ πόρνης γεγενημένων, καὶ ὑπὸ παλλακῆς τεθραμμένων, ὥς φησιν Σέρουιος Ὀνωράτος ὁ Γραμματικός. ὁμοίως γράφεται ὁ Τήλεφος ὑπὸ τῆς ἐλάφου, καὶ ὁ Κῦρος τῶν Περσῶν μονάρχης ὑπὸ τῆς Σπακοῦς τῆς κυνὸς τραφῆναι, τοιαύτην παρανομασίαν πρὸς τὴν αὐτῶν ἐραστῶν τῶν παλλακίδων, αἳ ἐκτιθέμενα βρέφη θηλάζουσαι, κεκτημένων. ὁ δὲ Ρωμύλος καὶ Ρέμος ἀκμασθέντες, καὶ ῥωμαλέοι νεανίαι ἤδη ὄντες τὸν Ἀμούλιον ἀνεῖλον ἐγγὺς τῆς Ἄλβης, καὶ τῷ πάππῳ Νομίτορι τὴν βασιλείαν ἀπέδωκαν. οἱ δὲ Αἰνείου, ἐπίγονοι βασιλεύουσιν ὅλως τῆς Ἄλβης μέχρι ἀπονοσήσεως τοῦ Νομίτορος ἔτη τριακόσια ἐννενήκοντα πέντε. οὐκ ἔστι δὲ ἄκαιρον καὶ ἄτοπον προσθεῖναι τοὺς Τρώων βασιλέας, ἐπεὶ ἀπὸ ἐκείνων πάντες τῶν Ἀλβάνων βασιλεῖς, καὶ ἄψ ἐκ τούτων ὁ Ρωμύλος καὶ ὁ Ρέμος τῆς Ρώμης κτίστορες ἀποβαίνουσιν. Αἰνείας ἐν μονομαχίᾳ σὺν Ἀχιλλεῖ οὕτω τὸ γένος τῶν Τρώων διηγεῖται Ἰλιάδ. υ. Αἰνείας ὁ τοῦ Ἀγχίσου ἐξ Ἀφροδίτης, Ἀγχίσης τοῦ Κάπυος, τοῦ Ἀσσαράκου, τοῦ Τρωὸς, ὃς εἶχε τρεῖς παῖδας Ἶλον, Ἀσσάρακον καὶ Γανυμήδην. Ἶλος τὸν Λαομέδοντα τῶν Τρώων βασιλέα, ὃς Πρίαμον ἐγέννησε, καὶ τούτου παῖδες ἦσαν Ἕκτωρ, Ἀλέξανδρος ὃς καὶ Πάρις, καὶ Κρέουσα, ἡ τοῦ Αἰνείου γαμετὴ, καὶ τοῦ Ἀσκανίου μήτηρ. Τρὼς δὲ ἦν υἱὸς τοῦ Ἐριχθονίου, πάντων ἀνθρώπων πλουσιωτάτου, καὶ ὅδε τοῦ Δαρδάνου, ὃς ἔκτισε Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ ἐν πεδίῳ πεπόλιστο πόλις μερόπων ἀνθρώπων, ὡς ἄδει Ὅμηρος. Δαρδάνου δὲ πατὴρ ἦν ὁ Ζεὺς Ἀσσαράκου τοῦ Τρωὸς υἱοῦ παῖς ἦν ὁ Κάπυς, τοῦ δὲ Κάπυος ὁ Ἀγχίσης, ὁ τοῦ Αἰνείου πατήρ. Ἔστι δὲ πάνυ εὔλογον καὶ εὔκαιρον τοὺς Ρώμης βασιλεῖς ἐνθάδε ἀριθμεῖν, οἵτινες ἐβασίλευσαν τῆς Ρώμης, ὡς ἱστορεῖ ὁ Λίβιος, ἔτη δια-

Telephi cerua, & Cyri canis.

Troianorũ reges.

Romanorum reges.

ἔτη διακόσια, τεσσαράκοντα τρία. Πρῶτος βασιλεὺς ὁ Ῥωμύλος ἐκυρίευσεν ἔτη τριάκοντα ὀκτὼ, δεύτερος Νόμας ὁ Πομπίλιος τεσσαράκοντα τρία, τρίτος ἄναξ Τύλλος Ὁστίλιος δύο καὶ τριάκοντα. οὗτοσὶ ἐκ βάθρων ἀνέστησε τὴν Ἄλβαν ἐπὶ Μετίου Σουφετίου ἡγεμόνος, ὅταν ἔστη τεσσαρακοσίους ἐνιαυτοὺς, ὡς δὲ Βιργίλιος λέγει τριακοσίους. Ἄγκος Μάρκιος τέταρτος βασιλεὺς ἄρχει τῶν Ῥωμαίων εἴκοσι τέσσαρα. πέμπτος Ταρκύνιος ὁ Πρίσκος ἑπτὰ ἐπὶ τριάκοντα: ἕκτος Σέρουιος ὁ τύλλιος τεσσαράκοντα τέσσαρα: Ἕβδομος καὶ ὕστατος βασιλεὺς Ταρκύνιος Σουπέρβος, τὸ ὑπερήφανος, εἴκοσι μετὰ πέντε. οὗτος διὰ μοιχείαν τοῦ υἱοῦ Σέξτου ἀπέβαλε τὴν βασιλείαν. Ἐκεῖνος γὰρ τῇ βίᾳ ἐμοίχευσε κεδνὴν, ἁγνὴν καὶ καθαρὰν ἄλοχον μὲν τοῦ Κολλατίνου, θυγατέρα δὲ τοῦ Ἰουνίου Βρούτου τὴν Λουκρετίαν. Lucretia. τοιγαροῦν ἐκπίπτοντος τῆς βασιλείας τοῦ τυράννου Ταρκυνίου σὺν τέκνοις, ἐξηλευθερώθη ἡ Ῥώμη διὰ τοῦ Βρούτου, καὶ πρῶτον ὕπατοι ἐψηφίσθησαν Λούκιος Ἰούνιος ὁ Βροῦτος, καὶ Λεύκιος Ταρκύνιος Κολλατῖνος. Καὶ οὕτως ἡ βασιλεία εἰς ἀριστοκρατίαν ἠλλοιώθη. Καὶ ἔμεινεν ἡ ἐνιαύσιος δυναστεία τῶν ὑπατευόντων ἀπὸ τούτων τῶν πρώτων ὑπάτων ἕως ἀναιρέσεως Πομπηΐου τοῦ μεγάλου ἐν Αἰγύπτῳ, καὶ τοῦ Ἰουλίου Καίσαρος Δικτατώρος ἔτη τετρακόσια ἑξήκοντα δύο.

Alba euersa. *Primi Coß. Romæ.*

Μετὰ ταῦτα ἡ δύναμις καὶ ἡ ἀκμὴ, ἥτις ὑπὸ ὑπάτων εἰς μεγίστην ἐξουσίαν ὑπὲρ πάντων ἀνθρώπων ηὐξήθη, σχολαίως ῥᾳστώνῃ καὶ τυραννίδι τῶν αὐτοκρατόρων ἐμινύθη, καὶ τέλος ὅλη ἀπώλετο, καὶ ἀπὸ Ῥωμαίων, κατὰ μέρος εἰς Γερμανοὺς, κατὰ μέρος τε εἰς Ἕλληνας διεμερίσθη, καὶ ἡ τῶν Ἑλλήνων ἀρχὴ μετὰ τῆς Κωνσταντινοπόλεως ἅλωσιν διὰ Τουρκῶν ὅλως ἀπώλετο, ἡδὲ τῶν Γερμανῶν, οἴμοι, ὀλίγαν σμικρᾷ πλέθει, μόνοις τῆς Γερμανίας πέρασι σχεδὸν περιορίζομένη. οὕτω σκαιὸν καὶ βαιόν ἐστι, κτῆμα ἡ τῶν ἀνθρώπων δυναστεία τι, καὶ εὐδαιμονία, σκιὰ τῆς ἀπίστης τύχης, καὶ παίγνιόν τι τοῦ χρόνου ἡ βεβαιότητος μόγις πομφόλυξ. Ἐπεὶ δὲ οἱ τὴν πολιτείαν μεταβεβληκότες

Monarchia *Diuisio imperij.*

 κότες

κότες κράτιστοι τῶν Ῥωμαίων ἐγένοντο, οὐκ ἄλογον, ἄτοπόν τε καὶ ἀνωφελές ἐστι τὸ γράφειν περὶ Πομπηΐου, εἰς ἄκρον τῆς δυναστείας διὰ ἀρετὴν πολεμικὴν καὶ δήμου ἔρωτα πρὸς αὐτὸν ὑπερμηκέα, χάριν πραότητος καὶ φιλανθρωπίας, ἐληλυθότος: ὅτι οὐκ εἰδὼς τὸν τοῦ Πομπηΐου βίον οὐ σαφὲς γνώσῃ τὴν τοῦ Ἰουλίου ἱστορίαν.

ΠΕΡΙ ΡΩΜΗΣ.


Σ πεπόλιστε πόλις Ῥώμη ἀνδρῶν ἀγερώχων
ῥωμύλου ἰφθίμου πρὸς καὶ Ῥέμου ἀγκυλομήτου,
ἐξ ἀρχῆς πόλεως κρατεροὶ βασίλευσαν ἄνακτες,
θέσκελοι, ἀνδρομέοι, μεγάθυμοι, ἱπποκορυσταί,
εἰσόκε ταρκυνίου μεγαλόφρονος, ἄσυλα ῥέξας
υἱὸς τῆς σεμνῆς παρὰ θεσμὸν λύσατο ζώνην
τοῦ Κολλατίνου ὁμολέκτρου, εἶδος ἀρίστης,
πατρὶ κατηφείαν, μέγα πένθος ὀρύνει ἑαυτῷ,
ἔκπεσε ὅστ' ἀρχῆς σὺν τέκνοις αἰσχρὰ πλοῦσι.
τῶν ἄρα Ῥωμαίων πρῶτος μάλα ἶφι ἀνάσσων
Ῥωμύλος: Ἄρεος ἦν τέκος, ἐκ μητρὸς δ' ἀπὸ Ἄλβης
κρειόντων γένεος καὶ αἵματος εὔχετο εἶναι.
Ἰλία τῶν διδύμων μήτηρ εἰκυῖα θεῆσιν
ἔγκυος ἐξ Ἄρεος Νομίτορα τοκῆα ἀριθμεῖ.
κούρη ἀμώμητος, περίπυστον ἔχουσά τι κάλλος.
πλήξιππος δὲ πρόκας τοῦτον γεννήσατο ἥρως
κεῖνον Αὐεντῖνος μεγάθυμος, τοῦ δὲ σύναιμος
Ἀγρίππας βασιλεὺς προπάροιθεν σκῆπτρα ἐνώμα,
ὅστις ἔην τέκος αἰχμητοῦ Τιβερίνου ἄνακτος,
ἥρπαγεν Ἀλβύλα ὃν νύμφη Λατιᾶα εἰς ὕδωρ,
κόλπῳ ἐνθεμένη τοῦ νηχέτου, οὔνομα κείνου
λήψασ', ἄνδρα φίλησεν ἐὸν λευκῆσι παρειαῖς.
τὸν τέκεν Ἀλβιμέδων Κάπετος, προφερέστατος ἀνδρῶν

ὃν κά-

ὃν Κάπυς ἴππων τε, τὸν δ᾽ αὖθις τίκεν ἄλκιμος Ἄλβας,
Σύλβιος ἀλλὰ πολιοῦχος τίκεν αὖτι λατῖνος
Ἄλβαν, τόνδε Λατῖνον ὁ Αἰνείας ἀγέρωχος
Σύλβιος Αἰνείαν γυνὰ Πόσθυμος ἀμῦμων.
τόνδ᾽ ἄψ Αἰνείας φρυξὶν τοῖς Τρωσὶν ἀνάσσων,
καὶ μέγαν Ἀσκάνιον, θεοὶ ὃν καλέουσιν Ἴουλον.
ὃς πρώτιστα πόλιν μακρὰν πυκτάμενο Ἄλβαν,
πλούσιος Ἀγχίσης τίκεν Αἰνείαν Ἀφροδίτη,
συμμιχθεὶς φιλότητι θεᾷ, Διὸς ἐκγεγαυῖα.
Ἀγχίσην δὲ Κάπυς, Κάπυν Ἀσσάρακος κρατερόφρων.
Ἀσσαράκου δύο ἦσαν ἄνακτες ἀδελφοὶ, ὁ Ἶλος,
Ἀντίθεος Γανυμήδης, ὃς κάλλιστος ἀπάντων
οἰνοχοεῖ ἐν ταῖς θαλίαις Διῒ περικεραύνῳ.
Ἶλος Λαομέδοντα τίκεν Τρώεσσιν ἄνακτα,
Λαομέδων γυνὰ Τιθωνὸν τὸν πόσιν Ἠοῦς,
Λάμποντα, Κλύτιον, Πρίαμον, θ᾽ Ἱκετάονα σεμνόν.
ὁ Πρίαμος δὲ Πάριν, καὶ Ἕκτορα, ὄζον Ἄρηος.
Τρῶς βασιλεὺς Ἶλον καὶ Ἀσσάρακον τίκεν, ἀλλὰ
Τρῶα Ἐριχθόνιος δ᾽ ἀφνειότατός τι ἀπάντων,
Δάρδανος ἀλλὰ Διὸς παῖς ἄδμητος τίκε κεῖνον.
τούτου αἵματος ἦσαν ἐρισθενέες βασιλῆες
ἀρχαίης Ῥώμης, ἣ κόσμου παντὸς ἄνασσεν,
Ἄλκαρ ἕως, σοφίῃ ἅμα ταῖς ἀρετῇσι κυβερνᾷ,
καὶ ὕπατοι τὸ πηδάλιον πολιτεύματος ἔχον,
μέχρι δυοῖν ἀνδροῖν τοῦ Καίσαρος, ἠὲ κρατίστου
Πομπηίου μεγάλου, οἷν τὸ κλέος οὐρανὸν ἧκεν.
οἷν ῥα διχοστασίῃ Ῥώμης ἀπόλωλεν ἡ ἀρχή.
Εἴθ᾽ ἔρις ἐκ πόλεων, ἐκ τῶν ἀρχῶν ἀπόλοιο.
Σοῦ γὰρ ἕκητι μάχαισι, ληηλασίαισι, φόνοισί τε
πάντα τὰ ἀνθρώπων φθείρει κακομήχανος Ἄτη.
οὔτ᾽ ἀδάμας οὕτω στίλβει ἄρρηκτος ἐς ὄμμα,
ἠλίου οὔτ᾽ αἴγλη, φῶς νυκτερινόν τε σελήνης

Αὐγάζει.

αὐγάζει, πόθον ἐμποιεῖ τοῖς ἐργατίναισιν,
ἀγλαὸς οὐ χρυσὸς τόσον πτωχοῖσι βοηθεῖ,
ὡς ἀγαθῶν ἀνδρῶν ὁμόνοια, καὶ ἡδὺ νόημα
ἐν δὲ διχοστασίῃ εἶδος κακότητος ἁπάσης,
ἁρπαγμὸς, φθόνοι ἠὲ φόνοι, λιμὸς μετὰ λοιμόν,
δυσσεβέων τε δυναστείαι, ἀγαθῶν ὄλεθρός τε,
οὐδένισις τε νόμων, ὁσίων, ἱερῶν, σοφίας τε,
Αἰδοῦς καὶ θέμιτος, θεοτίμητου εἵνεκε δικαίου.

DE ROMA.



OMANORVM IMPERATORVM qui à primo Dictatore, siue supremo principe vrbis, Caio Iulio Cæsare, Cæsares nominati sunt, vitam, & successionem in imperio scripturus, operæprecium me facturum putaui, si de exordio & fundatione vrbis, atque de regibus eius, & alijs magistratibus, qui ante imperatorum monarchiã, rempub. administrârunt, pauca summatim memoriæ prodam: Ne illi qui ea scire desiderauerint, quæ postea acciderunt, & quorum crebra fit in hac historia mentio, à veritatis via tanquam in tenebris aberrantes, sententiam nostram non assequantur, & sicut hospites & peregrini in ignota regione versentur.

Romam condiderunt fratres germani Romulus,
Roma condita. & Remus, gemelli, Rex Syluiæ (filiæ Numitoris Albæ Longæ regis) ex stupro Martis, vt fama est, filij, post captam Troiam, Phrygiæ metropolin, & maximam atque potentissimam vrbem sui temporis in Asia, anno
330. trecentesimo, tricesimo: Mundi verò termillesimo, du-
3213. centesimo, decimotertio, ante incarnationem Saluato-

ris

ris nostri, immortalis Dei *IESV CHRISTI* septingentesimo, quinquagesimo, die vigesima prima Februarij, qua die Palilia Romani celebrant. Deniq; decimo anno regni Achæ regis Iudæorum.

Principio Romanorum gubernatio penes reges erat, vsq; ad destructionem tyrannidis Tarquiniorum, vt scribit Liuius annos ducentos, quadraginta tres. Primus rex Romulus suum fratrem Remum aratro occidit, quod non verebatur vallum nouæ vrbis contra fratris interdictum, transilire. Romulus verò genus suum ab Albanorum regibus deducebat, quibus gentis autor erat Aeneas, dux Troianorum, qui post Troiæ euersionem exules, qui patriæ excidio superfuerant, in Italiam duxit, vbi tertio anno regni Latinorum, vt scribit Messala Coruinus, in ripa fluuij Numici sepelitur (aliqui dicunt ipsum in hoc fluuio perijsse) & à subditis atque ab Italis colitur Iupiter Indiges. Hic Aeneas Anchisæ & Veneris filius, natus fuit ex regibus Troiæ, & ipse ex Creusa Priami regis Troiæ filia, florente adhuc Troia, genuit Ascanium, cognomine Iulum, In Italia verò ex Lauinia filia Latini, Fauni filij Latinorum regis, Syluium Aeneam Posthumum, quem mater ob metum priuigni Ascanij, peperit in sylua apud pastorem Tityrum, post obitum mariti sui Aeneæ, à quo Syluio, omnes reges Albanorum Syluij, hoc est, in sylua nati, quasi syluestres cognominati, vocantur, quemadmodum omnes Parthorum reges à primo & claro suo rege Arsace Arsacidæ, Aegyptiorum à Ptolemæo, Ptolemæi, hoc est, bellicosi, qui etiam antea Pharaones, quod significat liberi aut ingenui, & Argiuorum ab Atreo Atridæ, deniq; Lacedæmo-

 niorum

niorum à magno Hercule Heraclidæ nominati sunt.

Hic igitur Aeneas duos moriens reliquit filios, sicut dictum est, Ascanium Iulum, & non dum in lucem editum Syluium. Ascanius regnum paternum suscepit, & trigesimo anno post conditum Lauinium, quod pater suus ædificauit, tertio regni sui anno, Albam dictam Longam condit, in colle Albano, & nouercæ Lauiniæ, atque eius filio Syluio Posthumo Lauinium restituit. Ipse autem Ascanius Italis imperauit in vniuersum annos octo & triginta. Cuius filius Iulus Syluius non successit in regno, quia ignauus, fatuus & stultus erat, verum Syluius Posthumus Lauiniæ filius institutus est hæres & successor à cognato fratre Ascanio, sapientia, prudentia, iustitia atque pietate præstans. Regnum autem Albæ Syluius 29. annis Albæ tenuit. Patrem in regno subsecutus est Syluius Aneas annis 31. Huius regnum excepit annis 50. Latinus Syluius. Post hunc præfuit regno Alba annis 39. Proximus in regno erat Capys, aliâs Capetus Syluius quem Eusebius & Liuius Atyn appellant, Cassiodorus verò Aegyptum, Ouidius poëta & Eutropius Epitum vocant. Annos autem 28. regnum tenuit, & extruxit Capuam in Campania. *Capua condita.* Hunc sequitur Capetus rerum potitus annos nouem. Et hunc Tyberinus, qui submersus in Albula, flumini Albulæ Tyberis nouum nomen imposuit, & regnauit octo annos. Successor illius Agrippa Albæ imperat annos 40. Post hunc imperat Albanis Romulus Syluius 19. Alij hunc Alladium Syluium, Eutropius verò Remum Syluium appellat, & inquit, ob impietatem fulmine esse percussum. Hic cum filio careret, proximum agnatum successorem reliquit Auentinum, annos 37. regnantem, Procas patris gubernatio-

nem

nem suscipiens 23. imperat. Hic vitam cum morte commutans, duos filios reliquit Numitorem & Amulium. Amulius expellens ex regno fratrem, atque illius filium Lausum interficiens, solus 44. regnat annos, atque Numitoris filiam Rheam Syluiam, aliàs Iliam nominatam, sacerdotem Vestæ inungit, ne quando grauida, pariat vltores iniustitiæ atque iniuriæ patrui aduersus patrem suum Numitorem. Verum illa 27. anno regni Amulij impraegnata gemellos Romulum & Remum enixa est. Resciscens autem Amulius grauiter excanduit, atque indignè tulit hoc facinus, atque iuxta leges veterum neptem suam Iuliam vel Rheam, corruptam, viuam terra defodit: gemellos verò excellentes magnitudine & pulchritudine, atque ideò sibi maximè formidabiles, iussit sumere ministrum, abijcere ac exponere, vt vel fame perirent, vel à bestijs dilacerarentur. Faustulus autem regius pastor infantes recens natos & expositos in ripa Tybris inueniens, & vxori suæ Accæ Larentiæ gemellos domum tulit, pulchros admodum & magnos existentes, vt illos lactaret. Mulier hæc Acca Larentia, quæ lactauit infantes, nominata fuit Lupa. Ita etenim Latini meretrices vocant, aut adulteras, & prostibula lupanaria appellant. Hæc igitur Larentia quia à pastoribus & rusticis nimis auarum lucrum ex fornicatione postulabat, Lupa cognominata fuit. Inde occasio nata est fabulæ, quod à lupa gemelli educati fuerint, vt celaretur dedecus & infamia generis conditorum Romæ, sicut ex meretrice natorum, ita à pellice eductorum, vt ait Seruius Honoratus Grammaticus. Similiter traditur Telephus à ceruа, & Cyrus Persarum monarcha à Spaco, hoc est à cane nutritus esse. Talibus agnominibus meretricibus, quæ infantes

lactauerunt, à suis amatoribus impositis. Romulus aūt & Remus cum adoleuissent, & robusti adolescentes facti essent, Amulium prope Albam occiderunt, & Numitori auo regnum restituerunt. Regnant autem Aeneæ posteri Albæ vsque ad restitutionem Numitoris annos 395.

Non est importunum atq; inconueniens inserere quoque Troianorum reges, siquidem ab illis omnnes Albanorum reges, & ab his rursus Romulus & Remus vrbis conditores descendunt. Aeneas in monomachia cum Achille sic Troianorum ιλ. υ genus recenset. Aeneas Anchisæ ex Venere filius, Anchises Capyos, Capys Assaraci, qui fuit filius Trois, cui nati sunt tres filij Illus, Assaracus atque Ganymedes. Illus Laomedontem Troianorum regem, qui rursus Priamum genuit. Cuius filij fuerunt Hector, Alexander qui etiam Paris, & Creusa coniunx Aeneæ atque Ascanij mater. Tros verò fuit filius Erichthonij, hominum omnium ditissimi, sed Erichthonius Dardani filius fuit, qui ante Ilium Dardaniam oppidum condidit. Dardani autem pater erat Iupiter. Assarici filij Trois filius erat Capys, Capys Anchises, Aeneæ pater.


Troiani reges.

Non absurdum & incommodum est quoq; hic Ro. reges enumerare, qui Romæ annos 243, vt narrat Liuius regnauerunt. Primus rex Romanorum Romulus regnat annos 38, secundus Numa Pompilius 43, tertius Tullus Hostilius 32, qui solo æquauit Albam cum illam gubernaret Metius Suffetius, postquam annos quadringentos & plures steterat, secundum Virg. verò trecentos. Ancus Martius quartus rex imperat Rom. 24. Quintus Tarquinius Priscus 37, sextus Seruius Tullius 44, septimus atque vltimus Tarquinius Super-

Romanorū reges.

Superbus 25, qui ob adulterium filij Sexti regnum amisit. Ipse enim modestæ, castæ atque pudicæ matronæ, vxori Collatini, filiæ Iunij Bruti, Lucretiæ vi vitium obtulit. Quapropter expulso Tyranno cum liberis in libertatem vindicata est Roma ab hoc Bruto, & primi consules creati sunt Luc. Iunius Brutus, & L. Tarquinius Collatinus. Atque ita regnum in aristocratiam mutatum est, annua consulum gubernatio, à primis his Coss. vsque ad necem Pompei Magni in Aegypto, & Iulij Cæsaris Dictaturam, annos 462. durauit.

Post hæc potentia & incrementum imperij, quod Coss. virtute ad summam potentiam in genere humano creuit, ignauia & tyrannide imperatorum diminutũ est, atq; tandem prorsus extinctum. Et à Romanis partim ad Germanos, partim ad Græcos, translatum est: Quorum imperium post captam Constantinopolin à Turcis penitus destructum est. Germanorum autem proh dolor, admodum paruum est, solius Germaniæ limitibus fermè definitum. Vsque adeo sinistra & breuis est possesio hominum potentia, & quodammodo quædam vmbra infidæ fortunæ, atque lusus quidam temporis, & stabilitatis vix bulla. Cum autem autores mutationis formæ gubernationis in repub. Rom: optimi Romanorum fuerint, non abs re fuerit atq; inutile Pompeij, ad summam potentiam euecti propter virtutem bellicam, & populi in se maximum studium, quod mansuetudine & humanitatis causa nactus erat, vitam inserere, ad intelligendam rectius historiam Iulij Cæsaris.

Ostquam condiderant Romam virtute gemelli,
Romulus atque Remus clari, rerum penes altos
Summa fuit reges, præstantes fortibus armis,
Donec Tarquinij crudeli mente superbi
Vxorem Collatini stuprauit adulter
Filius, exitium sibi quo patriꝗ; parauit,
Deseruit profugus qui regia sceptra Tyrannus.
Hinc Romanorum primus rex inclytus armis
Romulus, ex Albæ materno regibus ortus
Stemmate, Gradiui sese genus esse ferebat,
Ilia nam peperit mater formosa gemellos
Ex Martis coitu, Numitoris filia regis
Cuius erat genitor Proca, fama clarus equestri,
Fortis Auentinus pater illi, sanguine iunctus
Ante ipsum Agrippas populos ditione premebat.
Cui Tyberinus erat genitor, quem nympha Latina
Albula suscepit gremio, fecitꝗ; maritum,
Illius assumens dilectum nomen in vndis.
Hunc genuit Capetus, quē mox Capys, impiger Albas
Rursus eumq;, satus Albano de rege Latino.
Aeneas illi genitor, quem Syluius edit,
Troius Aeneas creat hunc de matre Latini
Filiola, sicut Troia durante Creusa
Ascanium genuit, longam qui condidit Albam,
Diuitis Anchisæ pulchræ Venerisꝗ; propago
Aeneas fuit, Anchise Capys, hunc Capyn edit
Assaracus, cui frater erat pulcher Ganymedes,

Luce

Luce ſacra ſuperis qui pocula læta miniſtrat.
Ac Ilus Troiæ rex, qui creat ipſe Monarcham
Laomedonta Phrygum, Priamus quo naſcitur heros,
Cui Paris atque Hector nati, formoſa Creuſa
Ilus & Aſſaracus ſunt nati Troē parente.
Diues Erichthonius creat hunc, ſed Dardanus illum:
Altitonans genuit pulchra quem Iupiter Ida.
Hæc generis ſeries eſt Romæ regia priſcæ
Dum virtus, robur, regit & ſapientia mundum,
Vrbis conſulibus fuit & data cura regendæ,
Vſque ad Pompeiî vel ſecula fortis Iuliî,
Quorum diſsidijs perijt reſpublica Romæ.
Ah pereas vtinam ſeries inuiſa malorum
Ex cœtu regum contentio, & vrbibus altis.
Namq́ tua cauſa pugnis & cædibus omnes
Res hominum inuentrix fraudum diſcordia vertit.
Non Adamas adeo lucet, neq́ ſolis imago,
Nec ſic exhilarat noctu lux aurea lunæ,
Aurum nec tantum precio iuuat æris egentes,
Vt prodeſt hominum concordia ſancta bonorum,
Namq́ mali ſpecies diſcordia continet omnes,
Tunc dolor inuidiæ, cædesq́, famesq́ luesq́
Impius & raptu dominatur, & omnia tentat,
Et iuſti pereunt, ſequitur contemptus honeſti,
Legum, iuſtitiæ, ſanctiq́, pij, atque pudoris.

ΠΟΜΠΗΙΟΣ
Ὁ ΜΕΓΑΣ.



Νήιος Πομπήιος, ὃς διὰ ἀρετὴν πρῶτος καὶ ὕστατος πάντων Ρωμαίων μέγας ἤκουσεν, ἐγεννήθη ἐκ πατρὸς εὐπατρίδου Πομπηίου τοῦ Στράβωνος, ἀνδρὸς ἐν πολέμοις δριμέος, ὀξέος καὶ ἐπισήμου, ὑπὸ δήμου δὲ τῆς αὐστηρότητος καὶ τῆς τῶν τρόπων ἀγριότητος ἕνεκεν οὐκ ἀγαπωμένου. πολὺ δὲ τοῦ πατρὸς καὶ τὰ πολεμικὰ καὶ τὰ πολιτικὰ κρείττων, καὶ μηδενὸς πάντων πώποτε γεγονότων Ρωμαίων, τῇ ἀρετῇ πάσῃ δόξαν κεκτημένων τῇ τε ἐξουσίᾳ, τῇ τιμῇ καὶ ἀρετῇ δεύτερος. Ὡς γὰρ οἱ Ρωμαῖοι εἰς πατέρα αὐτοῦ Πομπήιον Στράβωνα, ἄνδρα πολεμικώτατον καὶ ἀγριώτατον, καὶ κατὰ τοῦ Κίννου τοῦ Δικτάτωρος ἐνδόξως στρατηγοῦντα, διαβολικὸν ἔδειξαν μῖσος, τῷ ὅτι ἐκ κεραυνοῦ θανόντι, ἐκφερόμενον πρὸς πυρὰν σῶμα, ἀπὸ λέχους ἐσπάσαντο, καί τι καθύβρισαν: οὕτως πρὸς υἱὸν Κνήιον εἰς σφοδροτάτην καὶ βεβαιοτάτην εὔνοιαν ἐτράπον. Νεανίσκος ἐτῶν τριῶν ἐπὶ εἴκοσι, τὰ τοῦ Σύλλα πράγματα τῇ ἑαυτοῦ μάλιστα ἀρετῇ μετὰ Κίννου καὶ Κάρβωνος, ἐβεβαίωσε. Διὸ αὐτὸν ὁ Σύλλας μέγαν προσηγόρευσε, καὶ θριαμβεύειν παρὰ τοὺς νόμους καὶ τὸ ἔθος τῆς πόλεως εἴασεν. Οὔτε γὰρ ἦν στρατηγός, οὔτε ὕπατος, οὔτε πω ἐβούλευε διὰ τὴν ἡλικίαν. Φύσει ἦν σώφρων, μεγαλόφρων, πρᾶος, καὶ εἰς εὔνοιαν, καὶ τὸ φιλάνθρωπον σφόδρα ἐπιρρεπής, καὶ φιλότιμος. ἠγάπα γὰρ τοῦτο τοῦ Ὁμήρου Ἰλιάδ. λ. Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων: ἀλλ᾽ ὅμως λίαν φιλόπατρις καὶ ἐμμένειν τοῖς νόμοις ἀγαπῶν, καὶ μηδαμῶς τῆς τυραννίδος καὶ μοναρχίας ἐπιθυμῶν οἷν πολὺ ῥᾶον τοῦ Καίσαρος, διὰ θαυμάσιον καὶ δυάπιστον εὔνοιαν τοῦ εἰς αὐτὸν δήμου, κληροῦν δύναιτο. Τὸν Λέπιδον μετὰ τελευτὴν τοῦ Σύλλα, τυραννίδα καὶ ἐξουσίαν τοῦ Σύλλα οἱ προσποιησάμενον ἐκώλυσε, καὶ διαδόχους αὐτοῦ Σερτώριον καὶ Περπένναν ἐν Σπανίᾳ ἀπέκτεινε. Ἔπειτα τὸν πειρατικὸν πόλεμον εὐτυχέστατα κατὰ τάχος, δηλαδὴ τρισὶ μησὶ κατεπολέ-

Præcox virtus Pompeij.

Magnus dictus.

Ingenium.

Lepidus.

Perpenna.

Bellum piraticum.

μισεν

μισιν, ἐν ᾧ πολλοὺς ἀντιδίκους εἶχε ἐν βουλῇ, κωλύσαντας τοιαύτην ἐξουσίαν ἑνὸς ἀνδρός. ἐπὶ τούτοις δυσχεραίνων ὁ δῆμος Ῥωμαῖος τηλικοῦτον ἀνέκραγεν, ἵνα ὑπερπετώμενος τῆς ἀγορᾶς κόραξ εἰς τὸν ὄχλον τυφλωθεὶς ἐμπεσεῖν. Ἐν τῷ γὰρ ψηφίζειν αὐτῷ πειρατικὸν πόλεμον, ὁ Γαβίνιος ἔδω αὐτῷ ἀντὶ μοναρχίας, ἐξουσίαν ἐπὶ πάντας ἀνθρώπους ἀνυπεύθυνον. καὶ μετὰ ταῦτα Μανίλιος δημαρχῶν γράφει νόμον, ᾧ πᾶσα δύναμις καὶ αὐταρχία τῆς Ῥωμαίων βασιλείας συλλήβδην ἐφ' ἑνὶ γίνεται. Διὸ ἀριστοκρατικὴ βουλὴ δύναμιν τοῦ Πομπηΐου βαρέως φέρουσα, ὡς τυραννίδα καθισταμένην, ἰδίᾳ παρεκάλει καὶ παρεθάῤῥυνεν αὐτοὺς τὴν ἐλευθερίαν ἀγαπῶντας, ἐπιλαβέσθαι τοῦ νόμου, καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν. Ἐνστάντος δὲ τοῦ καιροῦ τῆς νόμου κυρώσεως, οἱ ἐν συγκλήτῳ βουλῇ πρωτεύοντες, τὸν δῆμον φοβηθέντες, ἐξέλιπον καὶ ἐσιώπησαν οἱ λοιποί. Κάτλος δὲ τοῦ νόμου πολλὰ κατηγορήσας, καὶ μηδένα τοῦ δήμου πείθων, ἐκέλευε τὴν βουλὴν, ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις, ὄρος καὶ κρημνὸν ζητεῖν, ὥσπερ οἱ πρόγονοι, ὅπου καταφυγοῦσα διασώσει τὴν ἐλευθερίαν. Ἐκυρώθη τοίνυν ὁ νόμος, πάσαις φυλαῖς, Καίτοι ὁ Πομπήϊος μὴ παρὼν ἀναίμωτι, καὶ ἄνευ δώρων καὶ χρημάτων κύριος ἀποδέδεικτο ἀπάντων σχεδόν τι, ὧν ὁ Σύλλας ὅπλοις καὶ τῷ πολέμῳ τῆς πόλεως κεκρατηκὼς ἦν. ἐκ τούτων φανερόν ἐστι, τὸν Πομπήϊον ῥᾷστα τῆς μοναρχίας δύνασθαι, ἐὰν βούληται, κρατεῖν, τῆς ἐλευθέρας πολιτείας τηλικαύτας τιμὰς προφρόνως καὶ ἐθελουσίως αὐτῷ διδούσης. ὁ τῷ Καίσαρι ἔτι ἐλευθέρας οὔσης μηδέποτε ἐδόθη. Αὐτὸς γὰρ τῇ βίᾳ τὴν μοναρχίαν ἥρπασε, μινυνθάδιον δὲ καὶ οὐ θανάσιμον, τὰ βέβηλα τοῖς ἱεροῖς κεραννύμενος, καὶ πάντα τὰ νόμιμα ἄνω καὶ κάτω κυλίνδων. Μέγα γοῦν ἦν ὄνομα τῆς δυναστείας τῷ Πομπηΐῳ, οὐκ ἔλαττον δὲ τῆς ἀρετῆς καὶ πρᾳότητος. Καὶ γὰρ κἂν τρεῖς τεθριαμβευκότες πρότερον ἦσαν ἕτεροι, τῇ εὐγενείᾳ ἴσως διαφέροντες αὐτοῦ, ἐκείνου ὅμως τῆς δόξης οὐκ ἐκληρώσαντο. Τρόπον γὰρ τινὰ τὴν οἰκουμένην ἐδόκει ἐπῆχθαι

Studia populi in Pomp.

Mirum.

Summa & omnis potentia Roma. in solū Pomp. libenter collata.

De tribus partibus mūdi Pompeius triumphat.

τοῖς

τοῖς τρισὶ θριάμβοις, πρῶτον ἐκ Λιβύας, τὸν δεύτερον ἐξ Εὐρώπης, πλουσιώτατον δὲ καὶ τρίτον ὑπὸ τῆς Ἀσίας εἰσάγων. Ἐν θαύ-

Audacia et cõtemptus periculorũ.

μασιν καὶ περὶ ἐκείνου θρασύτητος καὶ μεγαλοψυχίας διηγεῖται, ὅτι ἐπισταθεὶς τῇ περὶ τὸ σιτικὸν οἰκονομίᾳ καὶ πραγματείᾳ, ἐκ Λιβύας ἀνάγεσθαι μέλλων, πνεύματος μεγάλου κατὰ θάλασσαν ὄντος, καὶ τῶν κυβερνητῶν τρομούντων καὶ ἅμα ὀκνούντων, πρῶτος ἐμβὰς πλοῖον, καὶ κελεύσας ἀγκύραν αἴρειν, ἀναβοᾷ: Πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη. Ἐν Ῥόδῳ γενόμενος, πάντων ἠκροάσατο τῶν σοφιστῶν, καὶ δωρεὰν ἑκάστῳ τάλαντον, ὅ ἐστιν ἑξακοσίους κοδράντους, ἔδωκεν. Ὁμοίως ἐποίησεν ἐν Ἀθήναις, ἐπὶ τοῖς φιλοσόφοις σχολάζων. Τρεῖς δὲ ἔνδοξοι καὶ πρωτεύουσαι σχολαὶ ἐν ὅλῃ τῇ οἰκουμένῃ τότε ἤνθησαν, Ἀθηναίη, Ἀλεξανδρεία, καὶ Ῥοδίη. Ἦγε θρίαμβον λαμπρότατον

Mithridates.

περὶ Μιθριδάτου, τῆς Ἀσίας καὶ Πόντου βασιλέως, ὃς κατ' ἐκείνους χρόνους μέγιστα δυναμένου, καὶ τοῖς Ῥωμαίοις φοβεροῦ, καὶ πολυγλώττου, καὶ τῆς θεραπευτικῆς ἤτοι τῆς ἰατρικῆς ἐμπειροτάτου, ὃς εἴδει εἴκοσι δυσὶ γλώσσαις λαλεῖν σαφέστατα. Θριαμβεύοντι περὶ τούτων τριῶν Πομπηΐῳ χρόνος δυεῖν ἡμέραιν οὐκ ἐξήρκησε, γράμμασι δὲ προηγουμένοις ἐδηλοῦτο τὰ ἔθνη καθ' ὧν ἐθριάμβευσεν. ἦν δὲ τάδε Πόντος, Ἀρμενία, Καππαδοκία, Παφλαγονία, Κολχίς, Μηδία, Ἴβηρες, Ἀλβανοί, Συρία, Κιλικία, Μεσοποταμία, τὰ περὶ Φοινίκην καὶ Παλαιστίνην, Ἰουδαία, Ἀραβία: Τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θαλάσσῃ καταπεπολεμημένον. ἐν δὲ τούτοις φρούρια μὲν ἡλωκότα χιλίων οὐκ ἐλάττονα, πόλεις δὲ οὐ πολὺ τῶν ἐννεακοσίων ἀποδέουσαι, πειρατικαὶ δὲ νῆες ὀκτακόσιαι, κατοικίαι δὲ πόλεων, μιᾶς δέουσαι, τετταράκοντα.

Quod noluerit occupare monarchiam.

Οὕτως ὁ Πομπήϊος ἄρχων τῆς γερουσίας, κρατίστας καὶ μεγίστας δυνάμεις ἐξ Ἀσίας τότε καταγαγὼν εἰς Ἰταλίαν, ὑπὲρ πάντων τῶν ἀνθρώπων τῇ ἐξουσίᾳ καὶ τῇ δόξῃ ἐγένετο: καὶ αὐτῷ μὲν δὴ τῶν πεπραγμένων τὰ μὲν ἄλλα, καίπερ μεγάλα

ὄντα, καὶ

ὄντα, καὶ μηδένι τῶν Ῥωμαίων πραχθέντα, καὶ τῇ τύχῃ καὶ τοῖς συστρατευομένοις αὐτῷ ἀγαθά ἄν τις: τὸ δὲ μέγιστον καὶ κάλλιστον πάντων, καὶ τοῦ ἰδίου, ὅτι δυνηθεὶς ἂν ῥαδίως τήν τε Ἰταλίαν κατασχεῖν, καὶ μοναρχῆσαι τῆς Ῥώμης, δι' ὑπερβολὴν ἰσχύος, οὐκ ἐβουλήθη, ἀλλ' εὐθὺς ἐπειδὰν τάχιστα εἰς Βρεντήσιον ἐπεραιώθη, τὰς δυνάμεις πάσας αὐτίκα ἀπέλυσε, μήτε τοῦ δήμου, μήτε τῆς βουλῆς κελευομένης, ἀφῆκε. Καῖσαρ δὲ τοὐναντίον ἐποίησε. Δωρεαῖς γὰρ καὶ κολακείᾳ τόν τε δῆμον, καὶ τοὺς δημάρχους θεραπεύων ἑαυτῷ αὐτοὺς προσεποίησε, καὶ κτεινομένου τοῦ Μεγάλου Πομπηΐου, πάσης ἐξουσίας, καὶ στρατιᾶς μόνος ἐγκρατὴς γενόμενος, τῇ αὐταρχίᾳ ἐπέστη, καὶ τὴν τῆς ἀριστοκρατίας βουλὴν διέλυσεν, ἑαυτὸν δικτάτωρα διὰ βίου καὶ αὐτοκράτορα ἀποδεικνύς.

Μηδεμίας δὲ ἀενάου καὶ βεβαίας οὔσης τύχης τοῖς ἀνθρώποις, καὶ ὅτι οὐδεὶς θνητὸς ἐστιν, ὡς λέγει Ἡρόδοτος Πολυμνία, οὔτε ἔσεται, τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμίχθη, τοῖσι δὲ μεγίστοισι μέγιστα, καὶ Ἰουλίου τοῦ Καίσαρος (ὃν αὐτὸς μάλιστα ηὔξησε, καὶ ἐπὶ μεγίστας ἐξουσίας ἦγαγε) ἀκαταστασίᾳ αὐτὸς Πομπήϊος μεγίστοις κινδύνοις περιέπεσε, καὶ τέλος ἐφονεύθη. Πολλῶν μὲν ἄλλων αἰτιῶν λεγομένων τοῦ ἐμφυλίου πολέμου, ἀληθεστάτη αὕτη ἦν, ἡ φιλοπρωτία καὶ ἡ φιλαρχία. Πομπήϊος μὲν γὰρ, καί τοι πρῶτον αὐτὸς αὐξήσας τὸν Καίσαρα, φθονεῖν ἤρξατο εὐτυχοῦντί τε καὶ λαμπρυνομένῳ, καὶ λάθρα τοπρῶτον κωλύειν αὐτοῦ τὴν ὑπεροχὴν σπεύδων, εἶτα καὶ φανερῶς ἐτόλμησε. Καῖσαρ δὲ μὴ φέρων ἐλαττωθῆναι, καὶ μέγιστος πάντων γενέσθαι σπουδάζων, τὴν Γαλατίαν ἀφείς, ἤλαυνεν εἰς Ῥώμην, ὡς ἀπαράσκευον ἔτι ληψόμενος τὸν Πομπήϊον. Καὶ οὕτω φιλονεικία καὶ φιλοπρωτία δυοῖν πολίταιν τὴν πατρίδα ἀπώλεσε: Πομπηΐου οὐδενὸς ἀνθρώπων δεύτερου, Καίσαρος δὲ πρώτου ἁπάντων εἶναι σπουδάζοντος. Ἀμφοτέρων δὲ ἀξιοστρατηγοτάτων, καὶ ἀξιονικωτάτων ὄντων, καὶ πάντων ἀρίστων τὰ πολεμικά. Πομπηΐου μὲν τῇ Ἀφρικῇ, καὶ τῷ Σερτωρίῳ, καὶ

Causæ belli ciuilis æmulatio & ambitio.

τῷ Μιθριδάτῃ καὶ τῷ Τιγράνῃ, καὶ τοῖς κατὰ θάλασσαν στρατηγήμασι σεμνυνομένους: Καίσαρος δὲ τῇ γε Γαλατίᾳ, Ἰβηρίᾳ, τῷ Ῥήνῳ καὶ τῇ Βρεταννίᾳ γαυρουμένους.

Ἐκ τούτου διϊστάντες τέλος εἰς πόλεμον περὶ ὅλων ὥρμησαν, ἐν ᾧ Πομπήϊος καταφρονήσει τοῦ Καίσαρος καὶ ἀνοήτῳ θράσει οὐχ ἑκὼν, ἀλλὰ ὑπὸ τῶν συστρατευομένων, τῆς συγκλήτου ἐπιφανῶν ἀνδρῶν, καὶ μὴ ἰδίῃ βουλῇ διορθῶν τὸν πόλεμον ἐν Φαρσαλίῳ πεδίῳ, πρότερον ἐν μεγίστοις καὶ ἐπικινδύνοις ἀγῶσιν ἀήττητος, ἀναγκασθεὶς πολεμίζειν ἐνικήθη. καὶ ἐντεῦθεν φεύγων ἐπέρα εἰς Μιτυλήνην, τὴν Κορνηλίαν γυναῖκα, Σκιπίωνος Μετέλλου θυγατέρα σὺν υἱοῖν ἀναληψόμενος· τὸ πέλαγος διεπέρασεν ἀσφαλῶς, πρὸς Πτολεμαῖον Βασιλέα Αἰγύπτου, ὄντα κομιδῆ νέον, ἀνήχθη, διὰ φιλίαν αὐτοῦ πρὸς ἐκείνου πατέρα, ὃν ἐκβληθέντα ὑπὸ ἀρχομένων ὁ Πομπήϊος κατήγαγεν εἰς Αἴγυπτον. Ἀλλ᾽ ἐκεῖ ἀνῃρέθη βιοὺς ἔτη ἑξήκοντα ἑνὸς δέοντα, μιᾷ ὕστερον τῆς γενεθλίου ἡμέρας τελευτήσας τὸν βίον. οἱ δὲ φονεῖς τὴν μὲν κεφαλὴν αὐτοῦ ἀποτέμνουσι, τὸ δὲ ἄλλο σῶμα γυμνὸν ἐκβαλόντες ἀπὸ τῆς ἁλιάδος τοῖς θεωμένοις οὕτω ἐλεεινὸν θέαμα ἀπέλιπον. Αὐτοὶ φονευταὶ δὲ πάντες, οἱ μὲν πρὸς Καίσαρος, οἱ δὲ πρὸς Μάρκου Βρούτου ἐφονεύθησαν, καὶ αὐτὸς βασιλεὺς ἐν θαλάσσῃ κατεκλύσθη. Καταβὰς δὲ ὁ Πομπήϊος ἐξ ἰδίας νηὸς εἰς τὴν Αἰγυπτίαν, μηδὲν δεινὸν φοβούμενος, ἔφθεγξε ταῦτα ἰαμβεῖα τοῦ Σοφοκλέους.

Pharsalica clades.

Interitus Pompeij Magni.

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
κείνου 'στι δοῦλος κἂν ἐλεύθερος μόλῃ.

Αὐτὸς δὲ Πομπήϊος ἀνεδέξατο τιμωρίαν τῆς ἀσεβείας, ὅτι ἁλίσκων ἐν τῇ τοῦ Πάσχατος ἑορτῇ τὰ Ἱεροσόλυμα πρὸ ἐτῶν πεντεκαίδεκα, κἂν οὐκ ἐσκύλευσε τὸ ἱερεῖον ὡς ὁ Κράσσος ἐποίησε, κωλύοντος ἀρχιερέως τὸ ἄδυτον ἁγιώτατον, καὶ τοῖς ἀνθρώποις βεβήλοις, καὶ αὐτοῖς Ἰουδαίοις ἀπρόσοδον, εἰσῆε, καὶ ἐθνικὸς ὢν ἐβεβήλωσε. Διότι ἐνώπιον τῆς ἁγίας πόλεως, δίκας δοὺς θυσιαστηρίῳ, ἀνῃρέθη.

Ἐκ νηὸς

Ἐκ νηὸς ἡ ἄλοχος Κορνηλία σὺν ἑταίροις θεασαμένη τὸ πάθος τοῦ ἀνδρὸς, φεύγουσα ὅμοιον ὄλεθρον, ἀνήχθη ἐς Κύπρον, κἀκεῖθεν τὸν υἱὸν ἔπεμψεν εἰς Ἀφρικὴν πρὸς Κάτωνα καὶ πατέρα Σκιπίωνα. Πρωτογενὴς υἱὸς Κνήϊος Πομπήϊος τετάρτῳ ἔτει μετὰ ἧτταν ἐν Φαρσαλίᾳ, ἐν Ἰβηρίᾳ ἐφονεύθη διὰ Καίσαρος. Σέξτος δὲ νεώτερος πολὺ ὕστερον, πάνυ δραστήριος, ἀξιοστράτηγος, καὶ εὔτολμος, μετὰ σφαγὴν τοῦ Ἰουλίου κατὰ Ὀκταυΐου καὶ Ἀντωνίου συχνὰς νενίκηκε νίκας. Τέλος δὲ ἐδολοφονήθη ὑπὸ Τικίου τοῦ Ἀντωνίου ἡγεμόνος, καὶ οὕτω πάντες Πομπηΐου υἱοὶ ἀπολώλεσαν.

ΠΟΜΠΗΙΟΣ

Ο ΜΕΓΑΣ.

Ἔσπετε θελξίνοοι, παιδεύτα κοράσια, μοῦσαι,
ἐσθλοὺς εἴτε κακοὺς τῆς Ῥώμης παμβασιλήοσης
Καίσαρας, ἐν κόσμῳ ὧν κῦδος ὑπέρτερον εἶναι
Ἄλλων ἀνθρώπων, θεοτιμήτοντι ἀνάκτων.
ὑμεῖς γὰρ φαύλους τε καὶ ἐσθλοὺς ἴστε μέδοντας,
κοίρανοι οἱ ἀγαθοὶ Ῥωμαίων, ἢ κακοὶ ἦσαν:
ὑμῶν χωρὶς μηδὲν ἐπίσταμαι, οὔτε νοήσω,
καὶ σαφὲς οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ᾽ ὀνομήνω.
οὔτ᾽ εἴ μοι δέκα γλῶσσαι ἅμα στομάτεσσιν ἐνεῖεν,
φωνὴ δ᾽ ἄρρηκτος δίδοται, χαλκήρεον ἦτορ:
εἰ μὴ ὁμηγερέες μοῦσαι Διὸς ἴστορες ᾠδῆς
ἡγεμόνας μνησαίαθ᾽, ὅσοι Ῥώμης βασίλευσαν.
Καίσαρα οὖν ἐρέω, ἢ μὲν κακὸν, ἢ δὲ καὶ ἐσθλόν.
καὶ πρώτιστα μέγαν τὸν Ἰούλιον, ὄρχαμον ἀνδρῶν,
τηλεκλυτόν τε ὁμῶς Κνήϊον Πομπήϊον ἀείσω.
Εἴκελος ὑσμίνῃ τελέθων πολιπόρθῳ Ἄρηϊ

Πομπήιος, σοφίᾳ δ' ἐχέφρονι περικεραύνῳ
τῷ Διὶ, ἐσθλοσύνῃ, πολέμου καὶ δηιοτῆτι
πάντων Ρωμαίων τῶν ἡγεμόνων ἐδίδοσεν,
ἀντίβιον πόλεμον θ' ὅτι σύσταδον ἶφι μάχεσθαι,
ἢ πόρρω τε λόχους θέσθαι μάλ' ἐπίσταται καλῶς,
τοιγάρτοι δυνάμει πολέμου προφερέστατος ἄλλων
πάντων ἀνθρώπων, Δημήτερος ἄλφι ἐδόντων,
τῇ πέρι μὲν σοφίᾳ, περὶ δ' ἦν ταῖς τύχεσιν ἀγνοῖς.
τρεῖς δὲ θριάμβευσεν: περὶ τῆς Λιβύας φερεκάρπου,
καὶ ἐκ τῆς Ἀσίας πολυφόρβου, καὶ κλυτοτέχνου,
καὶ ἀπὸ Εὐρώπης, θυγάτηρ ἥ ἐστιν Ἄρηος,
καὶ τρόπον οἰκουμένην οὕλην ὑποχείριον ἦγε.
τοίνυν οἱ πολῖται κεῖνον περὶ κῆρι φίλησαν,
Μηδενὸς ἦν ἀρετὴν γὰρ δεύτερος, ἤ τι νόημα.
Ἀλλὰ τέλος μετὰ τοῦ θείου τοῦ Καίσαρος ἐχθροῦ
ἀντίβιον πόλεμον πολεμῶν κατὰ θράκιον οὖρος
ἠλάθη; προφυγὼν δὲ μάχης βροτολοιγὸν ἀϋτὴν
Ὄλλυτο τυπτόμενος κατὰ κρᾶς Αἰγύπτου ἐν ὄχθῃ.
ἀδράστεια θεὸς φονέας δὲ κολάζει ὀλέθρῳ.
Οὐδὲν ἀκιδνότερον βόσκει γὰρ γαῖα πελώρη
θνητῶν, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
οὔπω ἄνδρα πάρος γὰρ ἐς ἡλίου ἤγαγεν αὐγὰς
Εἰλείθυια, ᾧ οὐ τὸ κακὸν προσεμίξατο μηδέν
γινομένῳ πρῶτον, μεγάλοισι μέγιστα, τὰ δεινά
χερσὶ παρασχόμενοι ἔτι συμφορά ἐσμὲν ἅπαντες,
ἀτραπὸν οἱ γαίας, ἀλλ' οὐκ ἀπονητὶ, πατοῦμεν,
χείρονες ἠὲ βροτοὶ ἤτοι πελόμεσθα μέγιστοι.
ζεὺς μὲν γὰρ τὰ τάλαντον ἐπιρρέπει οὐρανόθεν τοῖς
πᾶσιν ἐπιχθονίοις: τῷ μὲν κακὸν ἤδε τῷ ἐσθλὸν
σπάργανα νηπιάχῳ ἔτι θηλάζοντι προβάλλει,
σχέτλιος ὡς οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
Ὣς καὶ ἐπεκλώσαντο θεοὶ θεοείκελῳ ἀνδρί

πεθιά-

Τεθνάμεν ἐν κονίῃ γλυκερῆς τῆς τῆλοθι πάτρας.
δοιοὶ γάρ τε πίθοι κατακεῖνται ἐν Διὸς οὔδει
δώρων, εἷς δὲ δίδωσι κακὸν, δ' ἕτερος δὲ τὸ ἐσθλόν.
ᾧ μὲν καμμίξας δώῃ Ζεύς κήρεται ἄφνω
τῶν κακῶν ἢ ἐσθλῶν, Διὸς αἰγιόχοιο ἕκητι.
Ἔνθεν παγκρατέουσα τύχη, δαίμων πολύμορφος
ὦκα ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει.

DE CN. POMPEIO MAGNO.



N. POMPEIVS, PROPTER VIRTVtem primus & postremus omnium Romanorum Magnus dictus, natus est ex parente patricio Pompeio Strabone, viro in re bellica aspero, acri, & claro, populo verò propter morum inurbanitatem & asperitatem inuiso. Multò erat patre suo tam bello quàm ciuili scientia præstantior, & nulli omnium Rom: quotquot vnquam omnibus virtutibus gloriam assecuti sunt, potentia, honore & virtute secundus. Nam quemadmodum Romani in parentem eius Pompeium Strabonem, virum militia illustrem, difficilem atque moribus agrestem, qui contra Cinnam Dictatorem res claras gessit, diabolicum odium ostenderunt, propterea quod fulmine icti cadauer, ad rogum elatum à lectulo abstraxerunt atque ignominia affecerunt: ita in filium eius vehementissimæ ac constantiss. beneuolentiæ studia certatim contulerunt. Adolescens 23. annorum Syllæ rebus contra Cinnam & Carbonem sua potissimum virtute, præcipuum præsidium attulit.

Proinde

Proinde Sylla eum Magnum nominauit, & ante æta-
tem atq; contra vrbis consuetudinem triumphare per-
misit. Non enim præturam neque Cos. gesserat,
nec dum propter ætatem in senatum lectus fuerat. Na-
tura erat prudens, magnanimus, mitis & ad beneficen-
tiam atque clementiam admodum procliuis, & gloriæ
cupidus. Nam hoc Homeri crebro vsurpabat, semper
primas ferēdas in rebus gerendis, atq; alijs antecellendū
esse. Patriæ amantiss. fuit, & iustitiæ obseruans, neq; vn-
quam tyrannidem & imperium affectauit. Quod lon-
gè facilius Cæsare, propter admirandam & incredibi-
lem populi Romani in se charitatem, adipisci potuis-
set. Lepidum post mortem Syllæ, tyrannidem &
dominationem affectantem compescuit, atq; illius suc-
cessores Sertorium & Perpēnam in Hispania interfecit.
Deinceps bellum Piraticum felicissime & celerrimè,
nempe spacio trium mensium, finiuit: In quo multos
aduersarios in senatu habuit, qui vetabant, ne in vnum
hominem tantum potentiæ conferretur. His exacerba-
tus populus Romanus adeo exclamauit, vt coruus su-
per concionem volans, cœcutiens in turbam caderet.
Nam cum ei Piraticum bellum decerneretur, Gabi-
nius illi pro monarchia dedit imperium in homines
omnes, legibus exemptum. Et postea Manlius Tri-
bunus plebis legem fert, qua omnis potestas, & domi-
natio Romani regni summatim vni subijcitur. Qua-
propter magistratus optimatum tantam potentiam
Pompei ægrè ferens, tanquam tyrannidem sapien-
tem, seorsim se cohortabatur, & sibi animos adde-
bat, vt qui libertatem patriæ saluam vellent, legi re-
pugnarent, & libertatem non proijcerent. Immi-
nente tempore promulgandæ legis, Principes senatus
metu

metu populi se non opposuerunt, sed silentium alij omnes egerunt, præter Catulum, qui multis inuectus in legem, non persuadens populo, iubebat senatum, pro concione ex suggesto vociferans sæpe, montem & præcipitem locum quærere, sicut maiores fecerant, quo confugiens libertatem conseruet. Promulgata est igitur lex consensu omnium tribuum, & Pompeius absens sine sanguine & muneribus dominus declarabatur omnium fere, quæ Sylla in vrbe bello atq; armis adeptus fuerat. Ex quibus manifestum est, Pompeium facilimè, si voluisset, monarchiam occupare potuisse, cum libera Respub. tantos honores libenter & sponte illi conferret. Quod Cæsari donec libera fuit datum non est. Nam ipse vi imperium rapuit, breue quidem & sibi exitiosum, prophana sacris miscens, atque omnem iusticiam sursum & deorsum voluens. Magna igitur erat autoritas potentiæ Pompeij, nec minor virtutis atque clementiæ opinio. Etenim quamuis & alij ante ipsum ter triumphum egerunt, fortassis etiam nobilitate eo clariores, tamen gloriam illius assecuti non sunt. Videbatur enim de toto habitabili orbe tribus triumphis triumphasse: primum ex Libya, secundum ex Europa, tertium ex Asia reportans. Vnum miraculo simile de illius audacia narratur: quoniam præfectus annonæ, ex Libya soluere volens, cum tempestas maxima in mari orta esset, atq; ideo nautę trepidarent, & recusarent nauigare, primus nauim cōscendit, & mandat tollere anchoram, clamans: Nauigare necesse est, viuere non est opus. Cum Rhodi ageret, omneis rhetores audiuit, & singulis talentum, hoc est, 600. coronatos dono dedit. Idem fecit Athenis, cum Philosophis vacaret. Tres illustres & præcipuæ scho-

 læ in to-

læ in toto orbe terrarum tunc floruerunt, Atheniensis, Alexandrina atque Rhodia. Triumphum de Mithridate, Asiæ atque Ponti rege, splendidissimum egit, qui sui temporis omnium regum potentissimus erat, atque ipsis Romanis formidabilis, multas linguas callebat, viginti nempe duas. Duorum dierum spacium non suffecit triumpho, literis autem significabantur nomina gentium, de quibus triumphauit. Hæ autem erant nationes, Pontus, Armenia, Cappadocia, Paphlagonia, Colchis, Media, Iberes, Albani, Syria, Cilicia, Mesopotamia, & quæ iuxta Phœniciam & Palæstinam sita sunt, Iudæa, Arabia. Latrocinia terra mariq; debellata, In his præsidia capta non pauciora mille, vrbes non multo pauciores, nongentæ, naues verò piraticæ octingentæ, oppida vndequadraginta.

Quod noluerit occucupare monarchiam.

